μεσοικείους, ἀθέους.

Τῷ δὲ τῆς ♀ συνοικειωθεὶς, ὧδε μὲν ἐνδόξων διαθέσεων, ποιεῖ ἐπιχαρίους, εὐδιαγώγους, φιλεταίρους, ἡδυβίους, εὐφροσύνους, παιγνιώδεις, ἀφελεῖς, εὐρύθμους, φιλορχηστὰς, ἐρωτικοὺς, φιλοτέκνους, μιμητικοὺς, ἀπολαυστικοὺς, διασκευαστὰς, ἐπαινδόξους καὶ εὐκαταφόρους μὲν πρὸς τὰς ἀφροδισιακὰς ἁμαρτίας, ἐπιτευκτικοὺς δὲ ☉ εὐπολιστόλους καὶ νουνεχεῖς, καὶ δυσεξελέγκτους, καὶ ἀδιακρίτους. ἔτι δὲ νέων ἐπιθυμητικοὺς ἀρρένων τε καὶ θηλυκῶν, δαπάνους τε καὶ ὀξυθύμους καὶ ζηλοτύπους. ὧδε δὲ τῶν ἐναντίων, ῥιψοφθάλμους, λάγνους, καταφορεῖς, ἀδιαφόρους, διασύρτας, μοιχικοὺς, ὑβριστὰς, ψεύστας, δολοπλόκους, ὑπονοθευτὰς οἰκείων τε καὶ ἀλλοτρίων, ὀξεῖς ἅμα καὶ προσκορεῖς πρὸς τὰς ἐπιθυμίας, διαφθορεῖς γυναικῶν καὶ παρθένων, παραβόλους, θερμοὺς, ἀτύπους, ἐνεδρευτὰς, ἐπιόρκους, εὐεμπτώτους τε ὑπὸ φρενοβλαβεῖς ἐνίοτε δὲ καὶ αὐτοὺς φιλοκόσμους, καὶ θρασεῖς, καὶ διατιθεμένους, καὶ ἀσελγαίνοντας ἀπεργάζεται.

Τῷ δὲ τοῦ ☿ συνοικειωθεὶς, ὧδε μὲν ἐνδόξων διαθέσεων, ποιεῖ στρατηγικοὺς δειλοὺς, δραστὰς, ἀκινήτους, ἀκαταφονήτους, περιλυπόπους, εὐεκτικοὺς, σοφιστικοὺς, ἐπιπόνους, πανούργους, περιλάλους, ἐπιθετικοὺς, δολίους ἀστάτους, μεθοδευτὰς, κακοτέχνους, ὀξύφονας, ἐξαπατητὰς, ὑποκριτικοὺς, ἐνεδρευτὰς, κακοτρόπους, πολυπράγμονας, φιλοπονήρους, ἐπιτευκτικοὺς δ' ἄλλως καὶ πρὸς τοὺς ὁμοίους εὐσυνθέτους, καὶ εὐσυνδεξιάστους, καὶ ὅλως ἐχθρῶν μὲν βλαπτικοὺς, φίλων δὲ εὐποιητικοὺς, ὧδε δὲ τῶν ἐναντίων, δαπάνους πλεονέκτας, ὠμοὺς παραβόλους, τολμηροὺς, μεταμελητικοὺς ἐμπαταίκτους, παρακεκινημένους, ψεύστας, κλέπτας, ἀθέους, ἐπιόρκους, ἐπιθέτας, στασιαστὰς, ἐμπρηστὰς, θεατροκόπους, ἐφυβρίστους, λῃστρικοὺς, τυμβωρύχους, μιαιφόνους, πλαστογράφους, ῥᾳδιουργοὺς, γόητας, μάγους, φαρμακεὺς, ἀνδροφόνους.

Ὁ δὲ τῆς ♀ μόνος τὴν οἰκοδεσποτίαν
♀
τῆς ψυχῆς λαβὼν, ὧδε μὲν ἐνδόξου διαθέσεως, ποιεῖ προσηνεῖς, ἀγαθοὺς, τρυφητὰς, κοινοὺς, ἐλλογίμους, καθαρείους, φιλορχηστὰς, κακοζήλους, εὐφροσύνους, μισοπονήρους, φιλοτέχνους, εὐσχήμονας, φιλοθεωτάτους, εὐεκτικοὺς, εὐονείρους, φιλοστόργους, εὐεργετικοὺς, ἐλεήμονας, εὐσυναλλάκτους, ἐπιτευκτικοὺς, καὶ ὅλως ἐπαφροδίτους, ὧδε δὲ τῆς ἐναντίας, ῥᾳθύμους, ἐρωτικοὺς, τεθηλυσμένους, γυναικώδεις, ἀτόλμους ἀδιαφόρους, καταφορεῖς, ἀνεπιψόγους, ἀνεπιφάντους.

Τῷ δὲ τοῦ ☿ συνοικειωθεὶς, ὧδε μὲν ἐνδόξων διαθέσεων, ποιεῖ χειροτέχνας, ἐμφιλοσόφους, ἐπιστημονικοὺς,